ἐξ εὐκτίτων μεγάρων ἄγονται·
τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον.“
τόσ᾽ εἶπε, καὶ ἁβ[ρο]βάταν κ[έλε]υσεν
ἅπτειν ξύλινον δόμον. ἔκ[λα]γον δὲ
παρθένοι, φίλας τ᾽ ἀνὰ ματρὶ χεῖρας
ἔβαλλον· ὁ γὰρ προφανὴς θνα-
τοῖσιν ἔχθιστος φόνων·
ἀλλ᾽ ἐπεὶ δεινοῦ πυρὸς
λαμπρὸν διάϊ[σσεν μέ]νος,
Ζεὺς ἐπιστάσα[ς μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα·
ε′ ἄπιστον οὐδέν, ὅ τι θ[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα
σὺν τανισφύροις κατ[έν]ασσε κούραις
δι᾽ εὐσέβειαν, ὅτι μέ[γιστα] θνατῶν
ἐς ἀγαθέαν ⟨ἀν⟩έπεμψε Π[υθ]ώ.
ὅσο[ι] ⟨γε⟩ μὲν Ἑλλάδ᾽ ἔχουσιν, [ο]ὔτι[ς,
ὦ μεγαίνητε Ἱέρων, θελήσει